φοιτητῶν ἱκανῶν εἶχε περὶ αὐτὸν χορόν, πρωτεύοντος πάντως Γρηγορίου τοῦ Μανέσιος, οὗ καὶ ἀνωτέρω ἐμνήσθημεν, ὧν εἷς καὶ Ἰάκωβος ἦν ὁ ὕστερον ἐπίσκοπος Λητζᾶς καὶ Ἀγράφων γεγονώς, ἐκ Καρπενησίου ἐλθών. Ἀλλ' ἡ εἰς Μεσολόγκιον αὐτοῦ μετάβασις ἀπὸ τοιαύτης ἔτυχε γενέσθαι αἰτίας· οὐδὲ γὰρ ἐπαύετο τῶν κακῶν ὁ ἐφευρετὴς ἠρεμεῖν, καὶ μὴ συνεχῶς ὁπλίζεσθαι κατ' αὐτοῦ.

Ὁ τὴν ἡγεμονίαν τῶν ἐνταῦθα κατέχων τότε χωρῶν, ἄνδρας τινὰς Σακαρεσσιάνους, ἀπὸ χωρίου τινὸς Σακαρέσσιον οὕτω καλουμένου, καθείρξας ἐν τῇ εἱρκτῇ ἔνδον τοῦ Ἀνατωλικοῦ, πολλοῖς ἐξέθλιβε τούτους κακοῖς, χρημάτων ἀριθμὸν αὐτοὺς ἀπαιτῶν τὴν δύναμιν αὐτῶν ὑπερβάλλοντα. Ὁ δὲ θαυμάσιος καὶ ἱερὸς οὗτος ἀνήρ, οὕτως ἔχοντας τούτους ὁρῶν, εἰ καὶ κατὰ μηδὲν ἄλλο βοηθεῖν αὐτοῖς οἷός τε ἦν (συμπαθείᾳ γὰρ ἡττᾶτο καθ' ὑπερβολὴν ὡς ἄλλος οὐδείς), τὰ πρὸς βρῶσιν καὶ πόσιν συνεχῶς αὐτοῖς ἐχορήγει διά τινων τῶν αὐτοῦ φοιτητῶν· οὐ πολλαὶ μεταξὺ παρῆλθον ἡμέραι, καὶ τῆς φυλακῆς οἱ ἄνδρες ἐξελθόντης νυκτός, φυγάδες ἐγένοντο· τούτου μεθ' ἡμέραν ἐπὶ τὰς ἀκοὰς τοῦ ἡγεμόνος ἐλθόντος, ἔρευνα ἀνὰ τὴν κώμην πᾶσαν ὑπὸ τῶν αὐτοῦ γίνεται ὑπηρετῶν· καὶ τίς ὁ τοῦτο δράσας, καὶ τὰ πρὸς φυγὴν τοῖς ἀνδράσιν εἰσενεγκών, ἐξητάζετο διὰ πολλῶν, ἀπειλαί τε πᾶσιν ἐγίνοντο, καὶ μάστιγες ἔστιν οἷς· ἀλλ' ὡς οὐδέν τι τούτων εἰς γνῶσιν ἧκεν αὐτῷ, καίτοι ἐπὶ πολὺ ποιουμένῳ τὴν ἔρευναν, Ἀγαρηνός τις, τὸ γένος ἕλκων ἐκ τῶν Ἀλβανῶν καὶ ἐν τῇ κώμῃ ταύτῃ οἰκῶν. πολὺ πρὸς τὸν ἱερὸν τοῦτον ἄνδρα ἐκ πολλοῦ τρέφων τὸ μῖσος ἐν ἑαυτῷ, ἅτε δὴ καὶ πολλὴν ὁρῶν τοὺς τὴν κώμην ταύτην οἰκοῦντας πρὸς αὐτὸν ἐπιδεικνυμένους αἰδῶ καὶ τιμήν, καὶ ἀεὶ τὰ παρ' αὐτοῦ λεγόμενα ἀόκνως ποιοῦντας, ὑπὸ πολλοῦ φθόνου κινηθείς, προσελθὼν τῷ ἡγεμόνι φησὶν — Εἰ τὸν παρὰ τῶν ἐγχωρίων τούτων Διδάσκαλον καλούμενον κρατήσεις, καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ